2. Ἐν σελίδι 256 εὕρηται ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ. Ἐν δὲ τῇ σελίδι 277 ἡ σημείωσις. « Αὕτη ἡ ἀκολουθία ἐν ἔτει ᾳ ω ε΄ Ἰουλίου 9 ἐν Ἱερουσαλὴμ ἀντεγράφη παρά τινος βιβλίου μεμβραίνου ἀπὸ τῆς Λαύρας τοῦ ἁγίου Σάββα, ἑξαμηναίου ὀνομαζομένου, ἀρχομένου ἀπ' ἀρχῆς Σεπτεμβρίου καὶ ἀφιερωμένου παρὰ τοῦ Κρήτης Νικηφόρου τῇ σεβασμίᾳ μονῇ τοῦ τιμίου ἐνδόξου Προφήτου τοῦ ἐν Ἰορδάνῃ, μηνὶ Ἰουλίῳ Ἰνδικτιῶνος ιδ΄ ἔτει ἀπὸ Ἀδὰμ ͵ς ω κ δ΄ ἤτοι σωτηρίῳ 1316 ἐπὶ τῶν Γραικο-Ρωμαίων Βυζαντινοῦ αὐτοκράτορος Ἀνδρονίκου β΄ τοῦ Παλαιολόγου». Ἐν τέλει τοῦ τεύχους ἕπεται κατάλογος τῶν βιβλίων, ἅτινα ὁ Γρηγόριος Παλαμᾶς ἐπώλησε τῷ ἀειμνήστῳ Σκευοφύλακι Σεραφείμ.

26

Τεῦχος χαρτῷον (0, 24 X 0, 165) τῆς παρούσης ἑκατ. ἐκ σελίδων 111, ὅπερ τεῦχος κατὰ τὸ 1863 ἦν κτῆμα τοῦ ἱεροδιακόνου τοῦ Π. Τάφου Ματθαίου. Περιεχόμενον.

1. Εὐχὴ ἱκετήριος καὶ κατανυκτικὴ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ καὶ πρεσβυτέρου. Ἀρχ. « Εὔσπλαχνε πολυέλεε » σ. 1.

2. Εὐχὴ περὶ τοῦ διαβόλου καὶ τῶν αὐτοῦ διαφόρων πειρασμῶν. Ἀρχ. « Ἄπεστιν ὁ πειραστής » σ. 12.

3. Εὐχὴ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον διὰ στίχων κατὰ ἀλφάβητον, ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ καὶ πρεσβυτέρου. Ἀρχ. Ἀνεσπέρου φωτός » σ. 16.

4. Κανὼν ἱκετήριος εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπὶ ὀχλουμένους ὑπὸ αἰσχρῶν λογισμῶν οὗ ἡ ἀκροστιχίς : « Ἐμῶν λογισμῶν τὴν ζάλην παῦσον λόγε ». Ποίημα Ἰωσὴφ μοναχοῦ. Ἀρχ. « Ἐπὶ τὴν σὴν καταφεύγω » σ. 20.

5. « Κανὼν ἀναγωγικὸς πρὸς θεῖον ἔρωτα, οὗ ἡ ἀκροστιχὶς « Τοῦ μακαριωτάτου πατριάρχου τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ Ἰωάννου». Ἀρχ. « Τὰ πάθη μου νέκρωσον » σ. 30.

6. Κανὼν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παρακλητικός. Ποίημα Ἀθανασίου. Ἀρχ. « Πολλήν πρὸς τὰ χείρονα » σ. 40.

7. Ὕμνοι εἰς τὴν Ὑπεραγίαν Θεοτόκον κατ' ἀλφάβητον. Ἀρχ. « Ἄνοιξον δέομαι ἁγνή » σ. 48.

8. Τροπάρια καὶ εὐχαὶ λεγόμεναι εὐθὺς μετὰ τὸ τέλος τῶν καθισμάτων. Ἀρχ. « Ἐν ἀνομίαις συλληφθείς » σ. 51.

9. Προσευχὴ ὄρθριος. Ἀρχ. « Ὁ Θεὸς ὁ πατήρ » σ. 101.

10. Προσευχὴ ἐπικοίτιος. Ἀρχ. « Κύριε ὁ τῆς ἡμέρας » σ. 104

11. Εὐχὴ εἰς μέτρον τῶν 24 ὡρῶν τοῦ νυχθημέρου. Ἀρχ. « Κύριε μὴ στερήσῃς με » σ. 106.

12. Εὐχὴ κατανυκτική. Ἀρχ. « Παντοκράτορ Δέσποτα » σ. 109.

27

Τεῦχος χαρτῷον (0, 235 X 0, 165) τοῦ παρόντος αἰῶνος ἐκ σελίδων 134 γραφὲν ἐξ ἀρχαίων χειρογράφων ὑπὸ τοῦ καλλιγράφου μοναχοῦ τοῦ ἁγίου Σάββα Παύλου τῇ προτροπῇ καὶ τοῦτο τοῦ ἀειμνήστου Σκευοφύλακος τοῦ Π. Τάφου Σεραφεὶμ ὡς καταδείκνυται ἔκ τινος ἐπιστολῆς ἐν ἀρχῇ τοῦ τεύχους εὑρισκομένης.

Τὸ ἀρχαῖον δὲ χειρόγραφον ἐξ οὗ τὸ νεώτερον ἀντεγράφη ἔφερε τὴν ἑξῆς σημείωσιν. « Πέρας εἴληφεν ἡ παροῦσα βίβλος ἐντὸς τοῦ Παναγίου καὶ Ζωοδόχου Τάφου τοῦ Δεσποτικοῦ Τάφου, παρὰ τλήμονός τινος, ρακενδύτου ἐπὶ ἔτους ,ϛ λ κ ϛ΄ Μαΐος ια΄ τῷ συντελεστῇ τῶν καλῶν. Θεῷ χάρις: Χριστὲ δίδου τοῖς ἐμοῖς πόνοις χάριν ».

1. Τριῴδια ἀναστάσιμα ψαλλόμενα εἰς τὴν λειτουργίαν ἀπὸ τῆς β-ας τῆς 6΄ ἑβδομάδος τοῦ Πάσχα, μέχρι τῆς ἀποδόσεως τῆς Πεντηκοστῆς. Ποίημα Ἰωσὴφ τοῦ ὑμνογράφου. Ἀρχ. « Ἄσωμεν τῷ Θεῷ ὡς νικητῇ » σ. 1.

2. Τῇ Γ΄ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς « Ψαλῶ τῷ Θεῷ Ἰωσήφ». Ἀρχ. « Ψάλλωμεν σήμερον » σ. 5.

3. Τῇ Δ΄. ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχὶς « Αἰνῶ Θεὸν Ἰωσήφ ». Ἀρχ. « Ἅγιε ἁγίων » σ. 8.

4. Τῇ πέμπτῃ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς «Ὑμνῳδία Ἰωσήφ. Ἀρχ. « Ὑπὲρ ἡμῶν τῶν ταπεινῶν » σ. 12.

5. Τῇ παρασκευῇ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς. «Δόξα τῷ Θεῷ ἀμήν». Ἀρχ. « Δῆμος Ἑβραίων » σ. 15.

6. Τῷ σαββάτῳ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς « Πρῶτον μέλπω μέλος ». Ἀρχ. « Προσήλωσαν σῶτέρ σε οἱ παράνομοι » σ. 18.

7. Τῇ Δευτέρᾳ τῆς Γ' ἑβδομάδος ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς. «Ἄδει τάδε Ἰωσήφ». Ἀρχ. « Ἀναρτηθεὶς ἐπὶ σταυροῦ ἑκουσίως Χριστέ » σ. 23.

8. Τῇ τρίτῃ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς «Χριστὲ σῶσόν με». Ἀρχ. «Χειρί σου ὁ ποιήσας τὸν ἄνθρωπον» σ. 26.

9. Τῇ τετάρτῃ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς « Ἠγέρθη ὁ Σωτήρ». Ἀρχ. « Ἡ κτίσις θεωροῦσά σε » σ. 29.

10. Τῇ πέμπτῃ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς « Ἆσμα ᾄσω τῷ Θεῷ» Ἀρχ. « Ἀνῆλθες ἐν σταυρῷ δὲ Κύριε» σ. 33.

11. Τῇ παρασκευῇ εἰς τὴν λειτουργίαν. Τριῴδιον οὗ ἡ ἀκροστιχίς« Δόξα Θεῷ Ἀμήν ». Ἀρχ. « Δῆμός ποτε ἀνομούντων Ἑβραίων » σ. 36

12. Τῷ σαββάτῳ ἐν τοῖς μακαρισμοῖς τετραῴδιον. « Ἐκ τοῦ βυθοῦ με ». Ἀρχ. «Αἱ μυροφόροι τὸ μνῆμά σου » σ. 40.

13. Τῇ δευτέρᾳ τῆς δ' ἑβδομάδος ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς « Ἀνέστη ὁ Σωτήρ ». Ἀρχ. « Ἀναβὰς εἰς ὕψος αἰχμαλωσίαν » σ. 44.

14. Τῇ τρίτῃ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς « Ψαλμῳδία Ἰωσήφ». Ἀρχ. « Ψαλμοῖς ἀλαλάξωμεν » σ. 47.

15. Τῇ τετάρτῃ τῆς Μεσοπεντηκοστῆς εἰς τὴν λειτουργίαν ἐκ τῶν κανόνων ᾠδὴ Γ' καὶ ΣΤ'. Τῇ πέμπτῃ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς « Αἴνεσις Κυρίῳ » Ἀρχ. « Ἀπορρήτῳ ἑνώσει ὁμοιωθεὶς τοῖς ἀνθρώποις » σ. 51.

16. Τῇ παρασκευῇ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον οὗ ἡ ἀκροστιχίς «Δόξα σοι ὁ Θεός» Ἀρχ. «Δεσμούμενος οἰκτίρμων » σ. 54.

17. Τῷ σαββάτῳ ἐν τοῖς μακαρισμοῖς τετραῴδιον οὗ ἡ ἀκρο-

στιχίς τρίτος ἦχος πέφηκεν» Ἀρχ. «Τέτρωσαι τῇ λόγχῃ θείαν πλευράν» σ. 57.

18 Τῇ δευτέρᾳ τῆς Ε'. ἑβδομ. ἐν τοῖς μακαρισμοῖς Τριῴδιον οὗ ἡ ἀκροστιχίς, «Δόξα τῷ Θεῷ ἡμῶν» Ἀρχ. «Δεσμεύσας τοῦ ἐχθροῦ τὸ ὀλέθριον κράτος» σ. 62.

19. Τῇ τρίτῃ ἐν τοῖς μακαρισμοῖς τριῴδιον οὗ ἡ ἀκροστιχίς. «Ὑμνῳδία Ἰωσήφ». Ἀρχ. «Ὕψωσε σταύρωσιν τὴν σὴν εἰκονίζων» σ. 65.

20. Τῇ τετάρτῃ πρωΐ τριῴδιον ψαλλόμενον ἐν τοῖς μακαρισμοῖς οὗ ἡ ἀκροστιχίς. «Αἶνος τῷ Κυρίῳ» Ἀρχ. «Ἀνῆλθες λόγε ἐν σταυρῷ πρὸς ζωὴν ἐπανάγων με» σ. 68.

21. Τῇ πέμπτῃ ἐν τοῖς μακαρισμοῖς τριῴδιον οὗ ἡ ἀκροστιχίς «Ὠδὴ Θεῷ πρέπει». Ἀρχ «Ὡς ἀνυψώθης ἐν ξύλῳ ἐθελουσίως» σ. 71.

22. Τῇ παρασκευῇ ἐν τοῖς μακαρισμοῖς τριῴδιον οὗ ἡ ἀκροστιχίς «Δόξα τῷ Θεῷ Ἀμήν». Ἀρχ. «Δεσμεύμενος Δέσποτα» σ. 74.

23. Τῷ σαββάτῳ ἐν τοῖς μακαρισμοῖς τετραῴδιον οὗ ἡ ἀκροστιχίς «Ἄδω μέλος τέταρτον Ἀρχ. «Ἁπλώσας ἐν σταυρῷ τὰς ἀχράντους παλάμας» σ. 78,

24. Τῇ δευτέρᾳ τῆς ς' ἑβδομάδος τριῴδιον ἐν τοῖς μακαρισμοῖς οὗ ἡ ἀκροστιχίς «Δόξα Θεῷ πρέπει». Ἀρχ. «Διὰ τοῦ σοῦ τιμίου Σταυροῦ Κύριε» σ. 82.

25. Τῇ τρίτῃ ἐν τοῖς μακαρισμοῖς τριῴδιον οὗ ἡ ἀκροστιχὶς «Ὠδὴ αὕτη Ἰωσήφ». Ἀρχ. «Ὥσπερ ἀνύψωσε πάλαι τὸν ὄφιν Μωϋσῆς» σ. 84.

26. Τῇ παρασκευῇ ἐν τοῖς μακαρισμοῖς. Ἀσεβεῖς οὐκ ὄψονται Ἀρχ. «Ἀναλαμβανόμενος ἐκ γῆς πρὸς οὐρανόν» σ. 87.

27. Τῷ σαββάτῳ ἐν τοῖς μακαρισμοῖς, τετραῴδιον Ἀρχ. «Πληρώσας τὰ ἐπὶ γῆς τῆς δόξης σου» σ. 90

28. Τῇ δευτέρᾳ τῆς Ζ' ἑβδομάδος ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον. Ἀρχ. «Σοῦ τὴν ἐπὶ γῆς καινοπρεπῶς» σ. 95.

29. Τῇ τρίτῃ ἐν τοῖς μακαρισμοῖς τριῴδιον. Ἀρχ. «Συναυλιζόμενος ἐν τεσσαράκοντα» σ. 98.

30. Τῇ τετάρτῃ ἐν τοῖς μακαρισμοῖς τριῴδιον. Ἀρχ. «Τὴν κατάκριτον καὶ παραβάσει φθαρεῖσαν» σ. 102.

31. Τῇ πέμπτῃ ἐν τοῖς μακαρισμοῖς τριῴδιον. Ἀρχ. « Ὁ ἀπρόσιτος τῇ φύσει » σ. 105.

32. Τῇ κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς ἑσπέρας. Κανὼν εἰς τὸ ἅγιον Πνεῦμα ψαλλόμενος ἐν τοῖς ἀποδείπνοις οὗ ἡ ἀκροστιχίς « Τὸ Πνεῦμα μέλπω τὸ κτίσαν πᾶσαν φύσιν ». Ἀρχ Τὸ θεῖον Πνεῦμα τὸ ἅγιον » σ. 109.

33. Τῇ δευτέρᾳ πρωὶ εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐκ τῶν κανόνων τῆς ἑορτῆς Γ΄. καὶ ΣΤ΄. Τῇ τρίτῃ τῆς Πεντηκοστῆς ἐν τοῖς μακαρισμοῖς τριῴδιον « Θεοῦ ἀληθινὰ τὰ ἔργα αὐτοῦ». Ἀρχ. « Τὸ πνεῦμα τὸ εὐθὲς ὁδὸν εὐθεῖαν ».

34. Τῇ τετάρτῃ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον. Ἀρχ. « Ἐστερέωσε τῶν οὐρανῶν τὰς δυνάμεις » σ. 121.

35. Τῇ πέμπτῃ ἐν τοῖς μακαρισμοῖς. Τριῴδιον. Ἀρχ. « Ἀληθοῦς ἐπαγγελίας » σ. 124.

36. Τῇ παρασκευῇ ἐν τοῖς μακαρισμοῖς. Ἀρχ. « Τὸ ἐκπορευόμενον ἐκ τοῦ ἀνάρχου » σ. 127.

37. Τῷ σαββάτῳ πρωὶ ἐν τοῖς μακαρισμοῖς. Τετραῴδιον. Ἀρχ. « Ἐνήργησας πρότερον » σ. 130.

28

Τεῦχος χαρτῷον (0, 225 X 0, 163) ἐκ φύλλων 13 ὅπερ διαλαμβάνει κανόνα παρακλητικὸν εἰς τὸν Πανάγιον καὶ Ζωοδόχον Τάφον, οὗ ἡ ἀρχὴ « Μετὰ θερμῆς καὶ εὐλαβοῦς κατανύξεως » Συνετάχθη ἐπὶ τῆς πατριαρχείας Ἀβραμίου, εἰς ὃν ὑπὸ ἀνωνύμου ἐν τῇ ἀρχῇ τοῦ τεύχους ὑπάρχει καὶ προσφώνησις καὶ ἐγκώμιον μικρόν. Ἐν τέλει ἡ ἑπομένη σημείωσις. « Ἐν ἔτει 1821. Μέμνησθε πρὸς Κύριον, κἀμοῦ τοῦ ἀναξίου Ἰακώβου ἱερομονάχου ».

29

« Αὕτη ἡ ἱερὰ βίβλος περιέχει κανόνας ψαλλομένους κατὰ τὸν δεκαπενταύγουστον μετὰ τὸν ἑσπερινὸν ἀντὶ τῶν ἐν τῷ ὡρολογίῳ παρακλήσεων, εἰς δοξολογίαν τῆς Κυρίας ἡμῶν. Γέγραπται δὲ παρ' ἐμοῦ τοῦ ἱεροδιακόνου Βενιαμίν, καὶ ἀφιέρωται ἐν τῷ ναῷ τοῦ

ἁγίου Κωνσταντίνου εἰς τὸ Πατριαρχεῖον καὶ ὁ ἀφαιρέσων ἐχέτω ἀποδοῦναι λόγον αὐτῇ τῇ Κυρίᾳ. αωκγʹ (1823) Αὐγούστου αʹ. Τὸ τεῦχος χαρτῷον (0, 24 X 0, 17) ὃν ἀριθμεῖ φύλλα 53.

1. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μάρκου Ἀρχιεπισκόπου Ἐφέσου τοῦ Εὐγενικοῦ. Κανόνες παρακλητικοὶ εἰς τὴν Ὑπεραγίαν Θεοτόκον, ψαλλόμενοι ἐν ταῖς πεντεκαίδεκα τοῦ Αὐγούστου μηνός, πρὸ τῆς ἐνδόξου καὶ σεβασμίας αὐτῆς Κοιμήσεως. Κανὼν αʹ οὗ ἡ ἀκροστιχὶς « Ἀπάρχομαί σοι τῶν ἐμῶν λόγων κόρη». Μάρκος. Ἀρχ. « Ἀρχόμενοι σήμερον τοῦ τελευταίου » φ. 1,

2. Κανὼν δεύτερος οὗ ἡ ἀκροστιχὶς « Τὴν ἐν μάχαις ἄγρυπνον ὑμνῶ προστάτιν». Μάρκος. Ἀρχ. « Τὰ τῆς σῆς χρηστότητος » φ. 4β.

3. Κανὼν τρίτος οὗ ἡ ἀκροστιχίς « Τὴν τῶν νόσων λύτειραν αἰνῶ παρθένον». Μάρκος. Ἀρχ. « Τῆς τρυφῆς ὁ χείμαρρος » φ. 8.

4. Κανὼν τέταρτος οὗ ἡ ἀκροστιχίς « Χαίροις ἔκφανσις ἀρᾶς ἡ λύσις ». Μάρκου. Ἀρχ. « Χαρᾶς ἡμῖν πρόξενος » φ. 11β.

5. Κανὼν πέμπτος οὗ ἡ ἀκροστιχὶς « Ἡ κοσμοχαρμόσυνος ὑμνείσθω Κόρη». Μάρκου. Ἀρχ. « Ἤχουσιν ἐν νεφέλαις φ. 15.

6. Κανὼν ἕκτος οὗ ἡ ἀκροστιχίς « Τὴν τοῦ γένους σώτειραν εὐρύθμως ᾄδω ». Μάρκος. Ἀρχ. « Τὰ τῆς οἰκουμένης συντρέχουσιν » φ. 18.

7. Κανὼν ἕβδομος οὗ ἡ ἀκροστιχίς « Ἔτι προσαυδῶ τοῦ Θεοῦ τὴν μητέρα », Μάρκος. Ἀρχ. « Ἔχουσα τῆς σοφίας τὸν χορηγόν » φ. 22.

8. Κανὼν ὄγδοος οὗ ἡ ἀκροστιχίς « Ἔσχατος ὕμνος τῇ πανυμνήτῳ γέρας » Μάρκου. Ἀρχ. « Ἐκ τῶν περάτων » φ. 28.

9. Ἕτεροι κανόνες ψαλλόμενοι ἐν τῇ τοῦ Αὐγούστου νηστείᾳ τῆς Ὑπεραγίας Θεοτόκου. Ποιηθέντες δὲ ὑπὸ Μανουὴλ τοῦ μεγάλου ῥήτορος τῆς Μεγάλης Ἐκκλησίας. Κανὼν αʹ οὗ ἡ ἀκροστιχίς « Τῇ παντανάσσῃ πρῶτον ἐξᾴδω μέλος ». Μανουήλ. Ἀρχ. « Τείχισον τὸν νοῦν μου ἀγαθή » φ. 29.

10. Κανὼν βʹ οὗ ἡ ἀκροστιχίς « Τῇ βασιλίδι ᾆσμα δεύτερον πλέκω ». Μανουήλ. Ἀρχ. « Τὰ τῆς ψυχῆς τῆς πανάθλίας μου » φ. 32.

11. Κανὼν Γ′ οὗ ἡ ἀκροστιχίς «Τῇ παρθένῳ μέλισμα ἐξᾴδω τρίτον». Μανουηλ. Ἀρχ. «Τὸν βυθὸν ὡς τεκοῦσα» φ. 36.

12. Κανὼν Δ′ οὗ ἡ ἀκροστιχίς «Τέταρτον ᾆσμα μητρὶ τῆς ζωῆς ᾄδω». Μανουὴλ. Ἀρχ. «Τοῦ κόσμου τὰ πέρατα» φ. 39.

13. Κανὼν Ε′ οὗ ἡ ἀκροστιχίς «Πέμπτον προσαυδῶ τῇ Παναγίᾳ μέλος». Μανουήλ. Ἀρχ «Πάντες ἐν εὐφροσύνῃ» φ. 43.

14. Κανὼν Ζ′ οὗ ἡ ἀκροστιχίς «Ἕπτατον ὕμνον ἀναμέλπω τῇ Κόρῃ». Μανουήλ. Ἀρχ. «Ἔφθασεν ἡ ἡμέρα» φ. 46.

15. Κανὼν Η′ οὗ ἡ ἀκροστιχίς. «Ὄχτατον αἶνον προσλαλῶ τῇ παρθένῳ». Μανουήλ. Ἀρχ. «Ὄγδοον πλέκω» φ. 50.

30

Τεῦχος χαρτῷον (0, 25 X 0 19) ἐκ σελίδων 323 γραφὲν ἐν Ἐνετίᾳ κατὰ τὸ 1800. Τῆς ἀρχῆς τοῦ τεύχους προηγεῖται κατάλογος τοῦ περιεχομένου.

1. «Συναγωγὴ τῶν θεοφθέγγων ῥημάτων, καὶ διδασκαλιῶν τῶν θεοφόρων πατέρων ἀπὸ πάσης γραφῆς θεοπνεύστου συναθροισθεῖσα καὶ οἰκείως καὶ προσφόρως ἐκτεθεῖσα εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων, παρὰ Παύλου τοῦ ὁσιωτάτου μοναχοῦ καὶ κτήτορος μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος, νῦν δὲ ἐγράφθη τὸ παρὸν βιβλίον τοῦ Εὐεργετινοῦ, διὰ χειρὸς Ἀγαπίου ἱεροδιακόνου Σαμίου τοῦ διατρίβοντος ἐπὶ μοναστήριον τῆς Ζωοδόχου Πηγῆς τοῦ Ραπαϊδονίου». Παλλαδίου. Ἀρχ. «Ὅσιος πατὴρ ἡμῶν Ἰωάννης ὁ ἐν Λυκῷ» φ. 1. Ἐν τῷ βίῳ τῆς ἁγίας Συγκλητικῆς. Ἀρχ. «Ἔλεγεν ἡ μακαρία Συγκλητικὴ» σ. 3.

2. Παλλαδίου. Ἀρχ. «Ἔμαθον περὶ Μωϋσέως τοῦ Αἰθίοπος» σ. 5.

3. Τοῦ ἁγίου Ἀμφιλοχίου περὶ τοῦ μὴ ἀπογινώσκειν. Ἀρχ. «Ἀδελφός τις» σ. 10.

4. Τοῦ ἁγίου Ἐφραίμ. Ἀρχ. «Πρόσεχε ἀδελφέ» σ. 23.

5. Θεολήπτου μητροπολίτου Φιλαδελφίας· λόγος τὴν ἐν Χριστῷ

κρυπτὴν ἐργασίαν διασαφῶν. καὶ δεικνύων τοῦ μοναδικοῦ ἐπαγγέλματος τὸν κόπον. Ἀρχ. « Τὸ μοναδικὸν ἐπάγγελμα » σ. 25.

6. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας λόγος εἰς τὴν Μεγάλην Παρασκευήν. Ἀρχ. « Μέγα μὲν οὐρανὸς δημιούργημα » σ. 42.

7. Περὶ ἀκτημοσύνης λόγος τοῦ ἁγίου Παλλαδίου. Ἀρχ. « Ὁ αὐτὸς ἀδελφός » σ. 49.

8. Τοῦ ἀββᾶ Ἡσαΐου. Ἀρχ. « Ἐὰν ἀπέλθῃς ». Τοῦ ἁγίου Ἐφραίμ. Ἀρχ. « Μὴ ἀπέλθῃς ». Τοῦ ἁγίου Βαρσανουφίου. Ἀρχ. « Ἀδελφὸς ἠρώτησε » σ. 52.

9. Παλλαδίου. Ἀρχ. « Ποτὲ ἀπὸ Ἱεροσολύμων εἰς Αἴγυπτον ἤλθομεν » σ. 55.

10. Τοῦ ἁγίου Ἐφραίμ. Ἀρχ. « Μοναχὴ ἐὰν παραβάλῃ σοι μοναχός » σ. 57.

11. Τοῦ ἀββᾶ Ἡσαΐου. Ἀρχ. « Ἐὰν ἔλθῃ πρὸς σὲ ἀδελφὸς ξένος » σ. 58.

12. Τοῦ ἁγίου Βαρσανουφίου Ἀρχ. « Εἰπὲ γέρων » σ. 60

13. Ἐν τῷ βίῳ τοῦ ἁγίου Παχωμίου. Ἀρχ. « Ὁμολογητής τις Διονύσιος » σ. 69.

14. Τοῦ ἁγίου Βαρσανουφίου. Ἀρχ. « Ἀδελφός τις ἠρώτησε γέροντα » σ. 70.

15. Τοῦ ἁγίου Ἐφραίμ. Ἀρχ. « Ἀδελφὲ ποιμένα ». Ἐκ τοῦ γεροντικοῦ. « Ὁ ἀββᾶς Μακάριος » σ. 73.

16. Τοῦ Πατρός. Ἀρχ. « Ὁρᾷς πῶς ὁ ἅγιος » σ. 75.

17. Τοῦ ἀββᾶ Ἡσαΐου. Ἀρχ. « Ἐὰν ἀπέλθῃς ἐπὶ ξένης εἰς οἶκον σελ. 76. Ἐκ τοῦ γεροντικοῦ ἀπῆλθέ ποτε ὁ ἀββᾶς Ἰσίδωρος σ. 79.

18. Ὑπόθεσις 36. Ὅτι μᾶλλον πασῶν τῶν ἀρετῶν ἐστιν ἡ ἀγάπη καὶ ὅτι ὅστις Θεὸν ἀγαπῶν τὴν τοῦ πλησίου ὠφέλειαν ἢ ἀνάπαυσιν τοῖς ἑαυτοῦ ἐν πᾶσι προκρίνει. Παλλαδίου. Ἀρχ: « Ἀνήρ τις Αἰγύπτιος ὀνόματι Σεραπίων » σ. 89.

19. Ὅτι δεῖ ὑπὲρ τοῦ πλησίον καὶ τὴν ψυχὴν τιθέναι. Παλλαδίου. Ἀρχ. « Ἐν βίβλῳ Ἱππολύτου τοῦ γνωρίμου τῶν Ἀποστόλων » σ. 103.

73. Τοῦ ἀββᾶ Ἡσαίου Ἀρχ. « Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας ἐὰν ἀσθένειά σε καταλάβῃ » σ. 273.

74. Τοῦ ἁγίου Βαρσανουφιου. Ἀρχ. « Ἀδελφὸς ἠρώτησε γέροντα λέγων » σ. 279.

75. Τοῦ ἁγίου Ἐφραίμ. Ἀρχ. « Μὴ ἀμέλει ἀρρώστου » σ. 281.

76. Ἐν τῷ βίῳ τοῦ ἁγίου Ἀντωνίου. Ἀρχ. « Ὁ μέγας Ἀντώνιος » σ. 287.

77. Ἐν τῷ βίῳ τοῦ ἁγίου Ἰωαννικίου τοῦ μεγάλου. Ἀρχ. « Παρέβαλέ ποτε τῷ θαυμαστῷ Ἰωαννικίῳ » σ. 283.

78. Ἐν τῷ βίῳ τοῦ ἁγίου Παλαμίου. « Ἀρχ. « Ἔλεγεν ὁ μέγας Παλάμιος » σ. 284.

79. Ἐν τῷ διηγήματι τῶν περιόδων τοῦ Θεολόγου. Ἀρχ. « Μετὰ τὴν τοῦ Κυρίου Ἀνάληψιν » σ. 285.

80. Τοῦ ἁγίου Ἐφραίμ. Ἀρχ. « Ἀγαπητέ ἀδελφέ, εἰπέ μοι » σ. 288.

81. Γρηγορίου τοῦ Θεολόγου. Ἀρχ. « Ἀναστάσιός τις ἀνὴρ εὐλαβὴς προεστὼς ἦν μονῆς » σ. 288.

82. Τοῦ ἁγίου Ἐφραίμ. Ἀρχ. « Ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ φησὶ τὸν ἐν ὀλίγῳ ἄπιστον ». σ. 292.

83. Ἐν τῷ βίῳ τῆς ἁγίας Συγκλητικῆς. Ἀρχ. « Ὁρῶν ὁ μισόκαλος δαίμων τὴν μακαρίαν Συγκλητικήν » σ. 298.

84. Ἐν τῷ βίῳ τοῦ ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου. Ἀρχ. « Ἑορτὴ ἦν καὶ ἑορτῶν ἡ πρώτη καὶ κυρία » σ. 303.

85. Ἐν τῷ βίῳ τοῦ ἁγίου Σάββα. Ἀρχ. « Τοῦ μακαρίου Σάββα ἐν τῷ καστελλίῳ οἰκοδομῆσαι » σ. 306.

86. Τοῦ ἁγίου Ἐφραίμ. Ἀρχ. « Ἀδελφέ, ἐὰν συμβῇ σοι ἀσθένεια » σ. 310.

87. Τοῦ ἀββᾶ Ἡσαίου. Ἀρχ. « Ἀδελφὲ πρόσεχε σεαυτῷ ἀκριβῶς » σ. 311.

88. Τοῦ ἁγίου Ἰσαάκ. Ἀρχ. « Ἐὰν πιστεύῃς ὅτι ὁ Θεὸς πρόνοιάν σου ποιεῖται » σ. 312.

89. Τοῦ ἁγίου Μαξίμου. Ἀρχ. « Πάντα ἄνθρωπον ἐκ ψυχῆς ἀγαπητέον » σ. 313.

90. Τοῦ ἁγίου Ἰσαάκ. Ἀρχ. « Νεφέλη μικρὰ σκεπάζει τὸν κύκλον τοῦ ἡλίου » σ. 316.

91. Ἐν τῷ βίῳ τοῦ ἁγίου Παχωμίου. Ἀρχ. « Ὁ μέγας Παλάμων, ὁ τοῦ ὁσίου Παχωμίου διδάσκαλος » σ. 317.

92. Ἐν τῷ βίῳ τοῦ ἁγίου Λουκᾶ τοῦ ἐν Ἑλλάδι. Ἀρχ. « Ποτὲ ὁ ἐχθρὸς ὄντι τῷ ἁγίῳ ἐν τῇ νήσῳ » σ. 318.

93 Τοῦ ἁγίου Μάρκου. Ἀρχ. « Ἐάν ἀκηδιάσῃς ὑπὸ κακίας » σ. 223.

94. Τοῦ ἁγίου Μαξίμου. Ἀρχ. « Πάντα τὰ ἄλλα πάθη » σ. 323.

31

Τεῦχος χαρτῷον (0,235Χ0,172) ἔχον κείμενον δίστηλον καὶ ἀριθμοῦν φύλλα 137 γραφὲν κατὰ τὴν ἐν τῷ τέλει σημείωσιν « Τῇ 19 Ἰουνίου ἐν ἔτει α ψ ξ α΄ εἰς τὸ μοναστήριον τῆς ἁγίας Βηθλεὲμ διὰ χειρὸς τοῦ ἀναξίου δούλου τοῦ Θεοῦ Χάννα Βηθλεεμίτη καὶ μαθητοῦ τοῦ ἁγίου διδασκάλου κυρίου Ἰακώβου ». Κατὰ δὲ μῆνα Σεπτέμβριον τοῦ α ω κ ς΄ ἡ βίβλος ἀφιερώθη εἰς τὸν πανίερον ναὸν τῆς Ἀναστάσεως ὑπὸ τοῦ τότε πατριαρχικοῦ ἐπιτρόπου Μητροπολίτου Ναζαρὲτ κ. Δανιήλ. Διαλαμβάνει δὲ τοῦτο Ἑλληνιστὶ καὶ Ἀραβιστὶ τὰ καθήκοντα καὶ τὴν τάξιν τοῦ ἱερέως ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ καὶ τὰς λειτουργίας Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ μεγάλου καὶ τῶν προηγιασμένων, εἶτα τὰς εὐχὰς τῆς μεταλήψεως καὶ τὸν τύπον τῶν ἀπολύσεων κατὰ τὰς Δεσποτικὰς καὶ Θεομητορικὰς ἑορτάς. Τὸ τεῦχός ἐστι πολλοῦ λόγου ἄξιον διὸ καὶ συνιστῶ αὐτὸ ὡς ἔχει εἰς τύπωσιν.

23

Τεῦχος χαρτῷον ὀγκῶδες ἐκ φύλλων 470 προωρισμένον διὰ λεξικὸν Ἑλληνο-Τουρκο-Ἀραβικὸν διὰ τὴν μίαν σελίδα καὶ Ἰταλο-Ρωσσο-Βουλγαρικὸν διὰ τὴν ἑτέραν.

33

« Ἐξακολούθησις τῆς ἱστορίας τῶν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ ἢ τῷ θρόνῳ τῶν Ἱεροσολύμων διατρεξάντων ἀπὸ τοῦ α ω μ α΄ Μαρ-

τίου 1 καὶ ἑξῆς συγγραφείσης παρὰ Νεοφύτου Κυπρίου. Τόμος Γ' ὅστις ἄρχεται ἐκ τῆς σελίδος 257—450. Ἀρχ. « Περὶ τῶν βασιλικῶν ὁρισμῶν διὰ τὴν ἐπισκευήν. Ἀλλ' ἐπανέλθωμεν ἤδη ». Τέλ. « Τὰ δὲ λοιπὰ ἀφῆκαν ἀπέλ . . . »

34

Τεῦχος χαρτῷον (0, 235 X 0, 146) τῆς παρούσης ἑκατονταετηρίδος ἐκ σελίδων 383 ὧν αἱ ἀπὸ τῆς 360 καὶ ἐφεξῆς εἰσιν ἄγραφοι.

1. Κατάλογος τῶν πατριαρχῶν τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ ἀρχόμενος ἀπὸ τῆς πρώτης μέχρι τῆς δεκάτης ὀγδόης σωτηριώδους ἑκατονταετηρίδος· ἤτοι ἀπὸ τοῦ πρώτου ἱεράρχου τῶν Ἱεροσολύμων Ἰακώβου τοῦ Ἀδελφοθέου, μέχρι τοῦ ἤδη Μακαριωτάτου πατριάρχου κυρίου κυρίου Πολυκάρπου. ἱστορία τε καὶ συνοπτικὴ διήγησις, τῶν ὑπὸ τῶν ἑτεροδόξων, περὶ τῶν πανσέπτων προσκυνημάτων διατρεξάντων, ἐρανισθεῖσα, παρὰ πολλῶν μὲν καὶ ἄλλων ἱστορικῶν, ἐκ συγγραφῆς δὲ μάλιστα τῶν μακαριωτάτων πατριαρχῶν Δοσιθέου, Χρυσάνθου, Μελετίου καὶ Παρθενίου, τῶν ἀοιδίμων· καὶ ἐξ ὑπομνημάτων πρὸς τούτοις καὶ ὑποσημειώσεων τοῦ ἐν μοναχοῖς Προκοπίου ἁγιοταφίτου Ναζιανζηνοῦ παρ' οὗ καὶ συνοπτικῶς συνετέθη πρὸς χάριν τῶν ζηλωτῶν συγκοινοβιατῶν αὐτοῦ, φιλοτίμῳ δὲ δαπάνῃ . . . πρῶτον ἐν τύποις δέδοται . . ἐπιστασίᾳ καὶ ἐπιμελείᾳ τοῦ . . . ἐν ἔτει σωτηρίῳ 1820».

2. Τοῖς ἐντευξομένοις. Ἀρχ. « Ἡ Ἐκκλ. ἱστορία » φ. 1.

3. Ἰάκωβος ἀδελφόθεος α' ἱεράρχης Ἱεροσολύμων. Ἀρχ. « Μετὰ τὴν Ἀνάληψιν τοῦ Κυρίου » φ. 2.

4. Μετάφρασις τοῦ ἱεροῦ βασιλικοῦ αὐτογράφου ἤτοι χάττιχουμαγιοῦ. Ἀρχ. « Ἐνεργείσθω ὁ ἱερὸς μου οὗτος ὁρισμός » σ. 325.

5. Πρὸς τὸν Σὰμ Βαλησὶ καὶ μουλλᾶν τῆς Ἱερουσαλὴμ καὶ νομοδιδασκάλους τῶν τεσσάρων μουσουλμανικῶν δογμάτων, καὶ πρὸς πάντας ἐν γένει τοὺς ἐξουσιαστὰς καὶ προκρίτους τῶν ἐντοπίων καὶ τελεσιουργοὺς ἄνδρας Ἱερουσαλήμ. Ἀρχ. « Ὁ ἀοίδιμος πρόγονος μου Σουλτὰν Σελίμ » σ. 343.

6. Ἔλεγχος καὶ ἀπόκρισις εἰς ὅσα ψευδῆ καὶ ἀσύστατα λέγουσιν οἱ Ἀρμένιοι διὰ τὰ προσκυνήματα τῆς Ἱερουσαλὴμ καὶ διὰ τὸ χάττι, τοῦ Σουλτὰν Σελίμη. Ἀρχ. « Εἰς τὸν καιρὸν καθ' ὃν ἐπῆγε καὶ παρέλαβε τὴν Ἱερουσαλὴμ » σ. 353.

Ἐν σελίδι 321 ὑπάρχει τὸ σημείωμα « Ἕως ἐδῶ παύει ἡ ἱστορία τοῦ μακαρίτου ὁσιολογιωτάτου ἐν μοναχοῖς Προκοπίου συνοπτικῶς σχεδιασθεῖσα, ἐπειδὴ τῷ ἑπομένῳ ἔτει δηλ. τῷ ᾳ ω κ β' ἔτει Ἰουλίου η' κατ' αὐτὴν τὴν ἡμέραν τοῦ συνωνύμου αὐτοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου, τὸ ζῆν ἐξεμέτρησε κρίμασιν οἷς οἶδε Κύριος ὡς ρηθήσεται ἐν τῷ ἑξῆς β' τόμῳ ».

35

Ἰβηρικὸν μεμβράνινον (0, 25 X 0, 175) Εὐαγγέλιον ἐκ φύλλων 246. Τὸ κείμενον αὐτοῦ μονόστηλον ὂν διαλαμβάνει γραμμὰς εἰς ἑκάστην σελίδα 25. Τὸ 2 καὶ 3 φύλλον ἔχει τὸ κανόνιον τῶν ἀναγινωσκομένων περικοπῶν ὅπερ ὁ καλλιγράφος ἐνέγραψεν ὑπὸ στήλας μετὰ ἀψίδων καὶ θόλων κεχρωματισμένων. Ἐν τοῖς φύλλοις 36^{6}. 70^{6}, 109^{6} καὶ 179^{6} ἐζωγράφηται ἡ εἰκὼν ἑκάστου Εὐαγγελιστοῦ.

36

Τεῦχος χαρτῷον (0, 225 X 0, 175) τῆς παρούσης ἑκατ. ἐκ φύλλων 131 καὶ προωρισμένον εἰς τὴν ἀναγραφὴν διαφόρων ἐπισήμων γεγονότων ἐξ ὧν ἐρανιζόμεθα τὰ ἑπόμενα.

1. Μετάφρασις τῆς γενομένης τῷ Μ. Π. τῶν Ἱεροσολύμων ἐπισήμου διακοινώσεως τῆς ὑψηλῆς Πόρτας περὶ τοῦ ἐκ Ρωσσίας ἀποστελλομένου εἰς Ἱερουσαλὴμ ἀρχιερέως. Νουνεχέστατε φίλε. Ἀρχ. « Ἐπειδὴ ὑπῆρχεν ἀνέκαθεν » φ. 1.

2. Ἀντίγραφον ἐπιστολῆς τῆς ἁγιωτάτης διοικούσης Συνόδου τῆς Ρωσσίας πρὸς τὸν Μ. Π. τῶν Ἱεροσολύμων συνιστώσης τὸν ἐν Ἱεροσουλὴμ ἀποστελλόμενον πανιερώτατον ἐπίσκοπον Μελιτουπόλεως κ. Κύριλλον, Ἀρχ. « Καθῆκον ἡμῶν ἱερώτατον » φ. 3.

3. « 1848. Σημείωσις ἐθίμων τινῶν τῶν θυρωρῶν τῆς ἁγίας Πόρτας » φ. 6.

4. « Σημείωσις τῶν μεγάλων ἀνοιγμάτων ἤτοι τῶν Παρρησιῶν » φ. 9ϐ.

5. « Σημείωσις ἄλλων τινῶν διακονητῶν (περὶ εὐταξιάδων) φ. 11.

6. « Ἐπισκευαὶ ἐν τῷ ναῷ ὑπὸ τῶν Δυτικῶν γενόμεναι τῇ συγκαταθέσει τῶν ἡμετέρων » φ. 14—16.

7. « Ἱστορία τῆς ἐν τῷ Σκευοφυλακείῳ σπάθης τοῦ Μ. Πέτρου » φ. 17.

8. « Ὑπόμνημα περὶ τῶν ἐκτὸς τῆς ἁγίας ταύτης Πόλεως μεγάλων οἰκοδομῶν τῶν ὀρθοδόξων ἀδελφῶν ἡμῶν Ῥώσσων. Ἀρχ. « Ἡ πρὸ ἱκανῶν ἐτῶν συρροὴ ἀτόμων » φ. 19.

9. « Προσθήκη περὶ τῶν κτηρίων τῶν ἀδελφῶν ἡμῶν Ῥώσσων » φ. 22.

10. « 1869. Ὀκτωβρίου 23. Ἄφιξις εἰς τὴν ἁγίαν Πόλιν τοῦ διαδόχου τοῦ Πρωσσικοῦ θρόνου Φρειδερίκου Γουλιέλμου » φ. 26.

11. « 1849. Ἄφιξις ἐπισήμων Ῥώσσων εἰς προσκύνησιν τῶν ἁγίων Τόπων » φ. 101—105.

37

Τὸ τεῦχος τοῦτο ἐκ φύλλων 50 διαλαμβάνει οὐχὶ πλήρη τὴν καθαρὰν ἀντιγραφὴν τοῦ 34 χειρογράφου περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων ὑπὸ Προκοπίου Ναζιανζηνοῦ.

38

« Τὸ παρὸν φυλλάδιον ὅπερ ἐστὶ καὶ ἀτελὲς εἰς τὴν ἀρχὴν εὑρέθη μεταξὺ τῶν βιβλίων τοῦ μακαρίτου γέροντος κὺρ Νεοφύτου εἰς τετράδια, ἅπερ συνειρμολογήθησαν διὰ τὸ ἀξιοπερίεργον αὐτῶν, ὡς ἐμπεριέχοντα τὴν ἐξιστόρησιν τῆς τοῦ θείου Ναοῦ οἰκοδομῆς μέχρι τῆς ἀποπερατώσεως αὐτοῦ, ὑπὸ τοῦ τότε διδασκάλου τοῦ Ἱεροῦ ἡμῶν Καταστήματος κὺρ Μαξίμου ἱερομονάχου τοῦ ἔντος

τότε τῶν κατ' αὐτὴν τὴν ἐποχὴν συμβάντων ἐμποδίων. Τοῦτο δὲ πρὸς ὁδηγίαν τὸ ἀναγινώσκοντος. Ἐν ἔτει ͵αωξα' ὁ δοῦλος τῆς ὑμετέρας θεοδοξάστου Παναγιότητος ὁ παπᾶ Μάξιμος ». Τὸ τεῦχος χαρτῷον (0, 23 X 0, 17) ὃν ἀπαρτίζεται ἐκ φύλλων 31.

39

Τεῦχος χαρτῷον ἐκ φύλλων 21 μετὰ 5 εἰκόνων. « Σιωνίτης ὑμνῳδός ».

40

Σιωνίτης ὑμνῳδὸς ἐκ φύλλων χάρτου 35 καὶ εἰκόνων 12, γραφεὶς κατὰ μῆνα Ἰανουάριον τοῦ 1843 ὑπὸ Γρηγορίου Χρηστίδου.

41

Τεῦχος χαρτῷον (0, 19 X 0, 115) τῆς παρελθούσης ἑκατονταετηρίδος ἐκ φύλλων 97 περιέχον διάφορα ἀσκητικὰ διηγήματα καὶ γραφὲν ὑπὸ τοῦ ἱερομονάχου Γερασίμου. Ἐν τέλει ὑπάρχει τὸ μήνυμα καθ' ὃ ὁ ἀρχιδιάκονος Ἀνανίας διὰ τῶν ψήφων τοῦ Πέτρας κὺρ Θεοφάνους, τοῦ Πτολεμαΐδος κὺρ Λαυρεντίου, τοῦ Θαβωρίου κὺρ Λεοντίου, προάγεται εἰς μητροπολίτην Βηθλεὲμ διαδεξάμενος τὸν ἀποθανόντα Μαλαχίαν.

42

Τεῦχος χαρτῷον (0, 216 X 0, 15) τῆς ΙΕ' ἑκατ. ἔχον κείμενον δίστηλον καὶ φύλλα 163 καὶ ὅπερ ἐστὶ καθ' ὅλα ὅμοιον τῷ τεύχει 31. Ἐν τέλει ἰδιόχειρον Ἀραβικὸν σημείωμα τοῦ μητροπολίτου Χαλεπίου Μελετίου δηλοῖ ὅτι τὸ ἔργον του τοῦτο ἀφιεροῖ εἰς τὰς ἐν Ἱεροσολύμοις μονὰς τῶν Ἀρχαγγέλων καὶ τοῦ ἁγίου Σάββα.

43

Τεῦχος Ἰβηρικὸν μεμβράνινον (0, 24 X 0, 175) ἐκ φύλλων 229 ὧν τὸ κείμενόν ἐστι μονόστηλον.

44

Τὸ τεῦχος τοῦτό ἐστι καθ' ὅλα ὅμοιον τῷ χειρογράφῳ 42.

45

Τεῦχος μουσικὸν χαρτῷον (0, 215 X 0, 16) τῆς ΙΖ' ἑκατ. ἐκ φύλλων στιλπνοῦ χάρτου 619 καὶ γραμμῶν ἐν ἑκάστῃ σελίδι 15. Τὸ τεῦχός ἐστι πολύτιμον, διότι ἐστὶν ἁπλοποίησις ἀρχαιοτέρου μουσικοῦ συστήματος Οἱ ἐν αὐτῷ ἀναφερόμενοι μουσικοί εἰσιν οἱ ἑξῆς. Μανουὴλ Χρυσάφης, Γρηγόριος Ἀλυάττης, Ξηρός, Ξένος τοῦ Κορώνη, Ἰωάννης Καμπάκης, Πλουσιαδινός, Ἰωάννης, Κουκουζέλης, Ἰωάννης Γλυκύς, Πανάρετος, Ἰωάννης Κλαδᾶς. Χαληβούρης, Γεννάδιος ἐξ Ἀγχιάλου, Μπαλάσιος ἱερεὺς ὁ καὶ Παλατιανός, Χριστόφορος Μυστάκονος, Κουκουμᾶς μαΐστωρ, Κωνσταντῖνος Μαγουλᾶς, Ἐμμανουὴλ Γαζῆς, Κορνήλιος μοναχός, Γεώργιος Πλαγίτης, Ξενοφῶν, Γρηγόριος δομέστικος, Ἰωάννης Θηβαῖος, Ἀνδρέας Σιγηρός, Θεοφύλακτος Ἀργυρόπουλος, Ἀγάθων, Ἰωάννης Βατάτζης, Νικηφόρος ἠθικός, Πέτρος μελῳδὸς Μπερεκέτης, Κοσμᾶς ἱερομόναχος Ἰβηρίτης, Ἀθανάσιος ἱερομοναχος, Δαμιανὸς ἱερομόναχος Βατοπεδινός, Γεώργιος Ραιδεστινός, Λέων ὁ σοφός, Μελχισεδὲκ ἐπίσκοπος Ραιδεστοῦ, Γερμανὸς ἀρχιερεύς, Θεόδουλος μοναχός, Παγκράτιος μοναχός, Ἄνθιμος δομέστικος τῆς Λαύρας, Θεοφάνης Καρίκη, Ἀθανάσιος πατριάρχης, Ἀρσένιος ὁ μικρός, Κωνσταντῖνος Μαγουλᾶς, Φίλιππος, Γαβαλλᾶς, Δαυῒδ Ραιδεστινός, Γεράσιμος μοναχὸς καὶ Βαρθολομαῖος. Ἐν ἀρχῇ τοῦ τεύχους ὑπάρχει ἑρμηνεία τοῦ Τερερέ.

1. « Εἰς τοὺς χιλίους ἑξακοσίους τεσσαράκοντα ἐννέα χρόνους ἀπὸ Χριστοῦ ἔγινεν αὕτη ἡ ἐρωταπόκρισις διὰ τό, Τερερέ, διατὶ ψάλλεται εἰς τὴν ἐκκλησίαν, καὶ ἀποκρίνεται. Τερερὲ εἰς τὴν ἁγίαν ἐκκλησίαν ψάλλομεν ὅσον ἐγὼ ἠμπορῶ νὰ φέρω λογαριασμὸν κατὰ τὴν ἀσθένειαν τῆς ἡλικίας μου καὶ τῆς πράξεως, ἀφίνοντας, εἰς ἄλλους μείζονα καὶ πλειοτέραν πλουσιωτέραν τε τὴν ἀπόκρισιν. Γέγονε δὲ αὕτη ἡ ἀπόδειξις ἐξ αἰτίας τοιᾶσδε. Ἥρως

τις ἐκ τῶν Ἐνετῶν (Ἰάκωβος τοὔνομα τοὐπίκλην βάρβαρος) ἐξητήσατο τὸν ἐκ Κρήτης πρωτοψάλτην Δημήτριον ταμίαν, δι ἣν αἰτίαν τὸ τερερὲ ἐν τῇ Ἀνατολικῇ ἐκκλησίᾳ ψάλλουσιν, δέδωκε δὲ τὴν ἀπόκρισιν, Γεράσιμος ἱερομόναχος ὁ Βλάχος καὶ Κρὴς παρακληθεὶς ἐκ τοῦ ἄνω εἰρημένου Δημητρίου ταμία. Ἑρμηνεία θαυμάσιος τοῦ τερερέ, καὶ ἀπόδειξις παρὰ διαφόρων διδασκάλων, ὅτι καλῶς καὶ εὐλόγως παρὰ Γραικοῖς, ᾄδεται ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ πρόσεχε καλῶς». Ἀρχ. « Πρέπει νὰ ἠξεύρωμεν πῶς ὁ τερετισμός » φ. 1.

2. Ἑτέρα ἑρμηνεία θαυμάσιος καὶ πρόσεχε. Ἀρχ. « Οὐδένα πρᾶγμα ἡ τοῦ Χριστοῦ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία » φ. 2β.

3. Ἐρωταπόκρισις περὶ τοῦ τί ἐστι χειρονομία. Ἀρχ «Χειρονομία ἐστὶ νόμος » φ. 4β.

4. Ἑρμηνεία τῆς παραλλαγῆς τοῦ κὺρ Ἰωάννου τοῦ Κουκουζέλους, περὶ τοῦ τροχοῦ. Ἀρχ. « Ἡ διπλοφωνία ἔχει οὕτως » φ. 7β.

5. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν σημαδίων τῆς ψαλτικῆς τέχνης τῶν τε ἀνιόντων καὶ κατιόντων, σωμάτων τε καὶ πνευμάτων καὶ πάσης χειρονομίας καὶ ἀκολουθίας συντεθειμένης εἰς αὐτὴν παρὰ τῶν κατὰ καιροὺς ἀναδειχθέντων ἡμῖν ποιητῶν παλαιῶν τε καὶ νέων. Ἀρχ. « Ἀρχὴ μεση τέλος καὶ σύστημα » φ. 6.

6. Ἀρχὴ τῶν κατ' ἦχων ἠχημάτων φ. 11.

7. Σημάδια ψαλλόμενα κατ' ἦχον μετὰ πάσης χειρονομίας καὶ συνθέσεως ποιηθέντα παρὰ τοῦ μαΐστορος κὺρ Ἰωάννου τοῦ Κουκουζέλους. Ἄρχου ἀπὸ τὸν α' ἦχον. Ἀρχ. «Ἴσον, ὀλίγον, ὀξεῖα » φ 16.

8. « Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν ἐκκλησιαστικῶν ᾀσμάτων τοῦ ἐνιαυτοῦ ἄνευ μέντοι τῶν κανόνων καὶ τῶν ἰδιομέλων, ταῦτα γὰρ ἐξήρηται, ἃ δὴ πάντων κοινῇ φωνῇ παπαδικῇ ἐπικέκληται, ἀρκτέον οὖν ἀπὸ τοῦ μεγάλου ἑσπερινοῦ κατὰ τὸ ἀκόλουθον, ὅ σ τ ι ς ποιηθὲν παρὰ διαφόρων ποιητῶν καὶ διδασκάλων παλαιῶν τε καὶ νέων » φ. 18.

9. Πληρωθέντων δὲ τούτων, εὐθὺς ἄρχονται οἱ δύο χοροὶ ἡνωμένοι ἀμφότεροι, τὸ «πάντα ἐν σοφίᾳ ἐποίησας» καὶ ψάλλουσιν αὐτό, ἀργὰ καί, ἴσα, οἱ ὅλοι ἀπὸ χοροῦ καὶ μὲ φόβον Θεοῦ, ποίημα ἀρχαῖον φ. 21.

10. Τὸ παρὸν (μέλος) λέγεται Ἁγιοσοφίτικον. Ἀρχ. «Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται» φ. 24.

11. Ἕτερος στίχος ποιηθεὶς παρὰ Μανουὴλ τοῦ Χρυσάφη καὶ λαμπαδαρίου τῆς Μεγάλης Ἐκκλησίας, ἐποιήθη δέ, διὰ προσταγῆς καὶ ὁρισμοῦ τοῦ ἀοιδίμου καὶ μακαρίου βασιλέως Κωνσταντίνου τοῦ Παλαιολόγου, Ἀρχ. «Ἐγὼ σήμερον γεγένηκά σε» φ. 30.

12. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ καὶ τῶν προκειμένων τῆς ὅλης ἑβδομάδος, ἤτοι δοχῶν καλουμένων, τῶν τε ἁπλῶν καὶ τῶν ἐντέχνων, συντεθέντων παρὰ τῶν παλαιῶν διδασκάλων μετὰ πλείστης ἐπιμελείας. Κυριακῇ ἑσπέρας. Ἀρχ. «Ἰδοὺ δὴ εὐλογεῖτε» φ. 70.

13. Ἕτερον Θεσσαλονικαῖον. Ἀρχ. «Ὁ Κύριος ἐβασίλευσεν» φ. 46.

14. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ, καὶ τῆς ἀκολουθίας τοῦ ὄρθρου κατὰ τάξιν μετὰ τὸ ἑξάψαλμον. Ἀρχ «Τὸ Θεὸς κύριος κατὰ τὸν τυχόντα ἦχον» φ. 53.

15. Ἀρχὴ σὺν θεῷ ἁγίῳ τοῦ πολυελέου τοῦ λεγομένου Λατρινοῦ ψαλλόμενος ἐν Κων)πόλει. Ἀρχ. «Εἰς τὸν ὄρθρον πρὶν τοῦ εὐαγγελίου, ὅστις πολυέλεος ἐποιήθη παρὰ διαφόρων ποιητῶν τε καὶ διδασκάλων» φ. 65.

16. «Πολυέλεος ψαλλόμενος ἐν τῇ πόλει Θεσσαλονίκῃ καὶ ἐν πάσαις ταῖς κατὰ πόλεσιν ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις ποιηθεὶς παρὰ τοῦ Κουκουμὰ καὶ Μαΐστορος, ὅστις καὶ Κουκουμὰς καλεῖται, φέρων τὴν ἐπωνυμίαν ἐκ τοῦ ποιητοῦ. ἄρχεται δὲ ὁ δομέστικος τοῦ δεξιοῦ χοροῦ, μετὰ εὐρύθμου φωνῆς καὶ μὲ φόβον θεοῦ καὶ μὲ πολὺν κατάνυξιν» φ. 77.

17. Ἡ καλουμένη «βουλγάρα» κὺρ Ἰωάννου Κουκουζέλους» φ. 82.

18. «Πασαπνοάρια ψαλλόμενα εἰς τὸν ὄρθρον πρὶν τοῦ εὐ-

αγγελίου εἰς τὰς ἑορτὰς τοῦ χρόνου ὅλου καὶ εἰς τὰς Κυριακάς» φ. 236.

19. «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν ἕνδεκα ἑωθινῶν στιχηρῶν ἰδιομέλων, ποιηθέντων παρὰ τοῦ εὐσεβοῦς Λέοντος τοῦ σοφοῦ, τὸ δὲ μέλος παρὰ κὺρ Ἰωάννου τοῦ Γλυκέως» φ. 160β.

20. Δοξολογίαι φ. 166.

21. Τὸ παρὸν ψάλλεται εἰς τὸν οἰκουμενικὸν πατριάρχην, ὅταν ἐνδύουσιν αὐτὸν, παλαιόν ἐστι, ἦχος δ'. Ἀρχ. «Πολυχρόνιον ποιήσοι ὁ θεός». Πατριάρχης ἦν ὁ Ἱερεμίας.

22. Τὸ παρὸν ψάλλεται εἰς τὸν οἰκουμενικὸν πατριάρχην. ποίημα Μπαλασίου ἱερέως καὶ νομοφύλακος τῆς Μεγάλης Ἐκκλησίας. Ἀρχ. «Λόγε Πατρός» φ. 186.

23. Ἕτερον πολυχρόνιον εἰς τὸν ἁγιώτατον θρόνον Ἀλεξανδρείας (Πατρ. Σαμουὴλ) φ. 188.

24. Ἕτερον εἰς τὸν ἁγιώτατον θρόνον τῆς Ἀντιοχείας ποίημα τοῦ αὐτοῦ (Πατρ. Κύριλλος) 9. 189β.

25. Ἕτερον εἰς τὸν ἁγιώτατον θρόνον τῶν Ἱεροσολύμων ποίημα τοῦ αὐτοῦ (Πατρ. Χρύσανθος) φ. 190β.

26. Ἐγκώμιον εἰς τὸν ἁγιώτατον πατριάρχην. Ποίημα κὺρ Χρυσάφου τοῦ νέου πρωτοψάλτου τῆς Μεγάλης Ἐκκλησίας. Ἀρχ. «Δεῦτε χριστοφόροι λαοί» φ. 182.

27. Ἕτερον πολυχρόνιον εἰς μητροπολίτην, τοῦ αὐτοῦ (Μ. Νεόφυτος Νικομηδείας) φ. 191.

28. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῆς θείας καὶ ἱερᾶς λειτουργίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπ. Κων)πόλεως τοῦ Χρυσοστόμου φ. 176.

29. Χερουβικὰ παρὰ διαφόρων ποιητῶν φ. 198.

30. Κοινωνικά φ. 245.

31. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῆς θείας λειτουργίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ διαλόγου φ. 277β.

32. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν θεοτοκίων μερικῶν μαθημάτων. Τὸ παρὸν ἐποιήθη παρὰ κὺρ Ἰωάννου τοῦ Κλαδᾶ ἦχος Γ'. Ἀρχ. «Τῇ Ἀειπαρθένῳ καὶ Μητρί» φ. 311β.

33. Παρακλητικὸν κατὰ τῶν ἐναντίων, περὶ ἐλευθερίας τῶν Χριστιανῶν. Ἀρχ. « Σῶσον τὸν λαόν σου Κύριε » φ. 315. Καὶ ἕπονται κατὰ σειρὰν ἅπαντα τὰ Θεοτόκια τῶν ἤχων.

34. Ἕτερον Θεοτοκίων ποίημα τοῦ αὐτοῦ, ὅπερ ἔγινεν δι' αἰτήσεως, ὁπόταν ἐκτίσθη ὁ ναὸς τῆς ὑπεραγίας Θεοτόκου τῆς Ἐλπίδος. Ἦχος Πλ. Δ'. Ἀρχ. « Οἱ ἐλπίδα καὶ στήριγμα » φ. 372.

35. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν καλοφωνικῶν μαθημάτων τοῦ ὅλου ἐνιαυτοῦ ἀρχομένων ἀπὸ τοῦ μηνὸς 7)βρίου φ. 373.

36. Τῇ 8 ὀκτωβρίου (;) ἡ σύναξις τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων. Ποίημα τοῦ Χρυσάφη καὶ οἱ λόγοι καὶ τὸ μέλος ἦχος α'. Ἀρχ. « Πυρρίμορφοι Ἀρχάγγελλοι ». φ. 403.

37. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ καὶ μερικῶν καλοφωνικῶν μαθημάτων τριῳδίου τε καὶ πεντηκοσταρίου » φ. 497.

38. Τῇ α' Κυριακῇ τῶν ἁγίων νηστειῶν, μάθημα παρακλητικὸν ἕνεκεν τῶν αὐτοκρατόρων βασιλέων ἡμῶν. Ποίημα κυρίου Χρυσάφου τοῦ πρωτοψάλτου ἦχος δ'. Ἀρχ. « Λάμπρυνον τῇ θείᾳ δόξῃ σου τοὺς βασιλεῖς ἡμῶν οἰκτίρμων, καὶ παρεμβολαῖς ἀγγελικαῖς τούτους περίφραξον, τὴν τῶν ἐθνῶν θρασύτητα καθυποτάττων αὐτοῖς Δέσποτα » φ. 503β — 505.

39. Ὁ ἀκάθιστος ὕμνος τῆς Θεοτόκου κατ' ἐκλογὴν μελοποιημένος φ. 517β.

40. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ καὶ τῶν κατ' ἦχων κρατημάτων φ. 517β.

41. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ καὶ μερικῶν ἐθνικῶν κρατημάτων, τὸ παρὸν ποίημα κὺρ Ἀρσενίου ἱερομονάχου τοῦ μικροῦ ἦχος α' « Ἔξω » φ. 579β.

42. Ἕτερον « Νάϊ » πάνυ ἔντεχον καὶ ὡραῖον ποίημα κὺρ Θεοφάνους πατριάρχου τοῦ Καρύκη ἦχος α'. » φ. 580.

43. Ἕτερον κράτημα ἐθνικὸν ὀνομαζόμενον « ναγμὲς » ὁμοῦ μὲ τὸ « πεστρέφη ». Ποίημα τοῦ Μπερεκέτη ἦχος α' « Ἔσω » φ. 582.

44. Ἕτερον κράτημα ὀργανικὸν καὶ ἡδύτατον ποίημα κὺρ Ἀρσενίου ἱερομονάχου τοῦ μικροῦ κατὰ ἀντιφωνίαν δὶς διαπασῶν ἦχος δ'. « Ἅγια » φ. 586.

45. Ἕτερον κράτημα ὀνομαζόμενον «ψαλτῆρα» ποίημα κὺρ Γρηγορίου Μπούνη τοῦ Ἀλυάττου ἦχος δ' φ. 587β.

46. Ἕτερον κράτημα ἐθνικόν, ποίημα κὺρ Ἀρσενίου ἱερομονάχου τοῦ μικροῦ ὀνομαζόμενον «μεγάλη» ἦχος πλ. α' φ. 590.

47. Ἕτερον κράτημα ἐθνικὸν πάνυ ἔντεχνον, δύσκολον καὶ φθορικόν, ποίημα κὺρ Γρηγορίου τοῦ νέου Ἀλυάττου ἦχος πλ. β' φ. 595β.

48. Ἄμωμος ψαλλόμενος εἰς τοὺς κοιμηθέντας ἱερωμένους τε καὶ λαϊκούς φ. 607.

49. Μαθήματα φ. 610 — 613.

50. «Τὰ παρόντα ἔλαθον τῆς ἀράδος αὐτῶν μὴ εὑρίσκοντάς τα καὶ ἐγράφησαν ὧδε εἰς τὸ τέλος τοῦ βιβλίου». Ἀρχ. «Καθεῖλε δυνάστας» φ. 613.

51. Σύμβολον ἅγιον τῆς ὀρθοδόξου πίστεως παρὰ τῶν ἁγίων πατέρων. Τόνος δὲ κὺρ Μανουὴλ τοῦ Γαζῆ ἦχος δ' φ. 618 — 619β.

46

Τεῦχος μουσικὸν χαρτῷον (0, 219 X 0, 165) τῆς ΙΗ' ἑκατ. ἐκ φύλλων 518 διαλαμβάνον ἅπασαν τὴν ἀκολουθίαν τοῦ ἐνιαυτοῦ μελοποιημένην παρὰ τοῦ κὺρ Γερμανοῦ ἀρχιερέως Νέων Πατρῶν.

1. Ἐν τῇ ἀρχῇ τοῦ τεύχους ὑπάρχει μέθοδος παραλλαγῆς πάνυ ὠφέλιμος κὺρ Γρηγορίου τοῦ Ἀλυάττου ἦχος πλ. δ' Ἀρχ. «Νὲ οὕτως ἀνάβαινε οὕτως κατάβαινε» φ. 1.

2. Σημάδια ψαλλόμμενα κατ' ἦχον μετὰ πάσης χειρονομίας καὶ σύνθέσεως, ποιηθέντα παρὰ τοῦ Μαΐστορος κὺρ Ἰωάννου τοῦ Κουκουζέλη. Ἄρχου ἀπὸ τὸν α' ἦχον. Ἀρχ. « Ἴσον, ὀλίγον, ὀξεῖα » φ. 2.

47

Τεῦχος μουσικὸν (0, 215 X 0, 15) ὅπερ εἴληφε πέρας ἐν τῷ χιλιοστῷ ὀκτακοσιοστῷ δεκάτῳ ἕκτῳ ἔτει ἐν μηνὶ Ὀκτωβρίῳ· ἐκ

φύλλων χάρτου 272 καὶ διαλαμβάνον τὰ « Δοξαστικὰ τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν, τῶν ἁγίων ὅλου τοῦ ἐνιαυτοῦ καὶ τοῦ τριῳδίου τινὰ μελισθέντα μὲν παρὰ Ἰακώβου πρωτοψάλτου ἐξηγηθέντα δὲ κατὰ τὸ νέον τῆς μουσικῆς σύστημα ὑπὸ Χουρμουζίου διδασκάλου ».

48

Τεῦχος μουσικὸν (0, 205 X 0, 16) ἐκ φύλλων χάρτου 249 περιέχον διάφορα θεοτοκία, χερουβικά, κοινωνικὰ καὶ πολυελέους ὑπὸ Πέτρου τοῦ μελῳδοῦ καὶ Πέτρου τοῦ Γλυκῆ.

49

Τεῦχος μουσικὸν (0, σ25 X 0, 16) ἐκ φύλλων χάρτου 346 διαλαμβάνον χερουβικὰ καὶ κοινωνικὰ Γρηγορίου καὶ Δανιὴλ τῶν πρωτοψαλτῶν.

50

Τεῦχος μουσικὸν (0, 235 X 0, 17) ἐκ φύλλων στιλπνοῦ χάρτου 184 καὶ περιέχον ἅπασαν τὴν ἀκολουθίαν τοῦ τριῳδίου καὶ τῆς Μ. ἑβδομάδος.

51

« Γενικῆς ἱστορίας τόμ. Α′ ὑπὸ Κυρίου Βιλκίου καθηγητοῦ τῆς ἐν Ξηρο-Κρήνῃ σχολῆς, 1846 Σεπτεμβρίου γ′ Κων)τῖνος Ἀθανασιάδης ἐκ Γανοχώρων». Ἐν τῷ μεταξὺ τὸ τεῦχος διαλαμβάνει καὶ μέρος γεωγραφίας. Σύγκειται δὲ ἐκ φύλλων γεγραμμένων 255.

52

Τεῦχος μουσικὸν (0, 22 X 0, 16) ἐκ φύλλων 189 περιέχον τὴν ἀκολουθίαν τοῦ ἑσπερινοῦ καὶ μέρος τοῦ ὄρθρου. Ἀπὸ τοῦ 146—184 ὑπάρχουσιν αἱ διάφοροι τῶν ἤχων κλίμακες.

53

Τεῦχος χαρτῷον (0, 165 X 0, 12) τῆς ΙΗ′ ἑκατ. ἐκ φύλλων 163 οὗ ἡ ἀρχή « Ἐκλογὴ τοῦ ψαλτηρίου παντὸς εἴς τε δοξολογίαν καὶ αἴτησιν» ὑπὸ Νεοφύτου ἱεροδιακόνου τοῦ Πελοποννησίου τοῦ ἐξ Ἑβραίων φ. 1—81.

2. « Εὐχαὶ θεολογικαὶ καὶ κατανυκτικαὶ συναχθεῖσαι παρὰ Θηκαρᾶ μοναχοῦ, τοῦ ποιήσαντος τοὺς θείους ὕμνους, τοῖς κατ' ἰδίαν βουλομένοις ἀσκῆσαι. Ἐγὼ δὲ μετέγραψα ταύτας μόνον, ὡς ἠδυνήθην τὰς πλείους ἀπολιπών » φ. 87.

54

Ψαλτήριον Ἀραβικὸν (0, 16 X 0, 105) ἐκ σελίδων 392 γραφὲν κατὰ τὸ 1816.

55

Τεῦχος χαρτῷον (0, 21 X 0, 165) τῆς ΙΖ′ ἑκατ. σελίδων 1079 ὧν αἱ ἀπὸ τῆς 1—49 καὶ ἀπὸ τῆς 528—535 σελίδος ἐλλείπουσι. Διαλαμβάνει δὲ τάδε.

1. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Ναζιαζηνοῦ τοῦ Θεολόγου εἰς τὴν χειροτονίαν Δοάρων ὁμιλία ἐκδοθεῖσα, Εὐλαλίῳ ἐπισκόπῳ. Ἀρχ. « Δέξασθε τὸν ἡμέτερον λόγον » φ. 49. (Ἅπαν τὸ τεῦχος γέμει σημειώσεων ἐν τοῖς περιθωρίοις ἑρμηνευουσῶν τὸ κείμενον).

2. Τοῦ αὐτοῦ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας, λόγος λ δ′. Ἀρχ. « Ἐπειδὴ συνεληλύθατε » σ. 53.

3. Τοῦ αὐτοῦ γνωμικὰ δίστιχα. « Ἀρχῆς καλῆς» σ. 97.

4. Στίχοι εἰς τὸν Φωκυλίδην. Ἀρχ. « Ὁ Φωκυλίδης ». Εἰς τὸν αὐτὸν ἕτεροι. Ἀρχ. «Ταῦτα δίκης ὁσίῃσι» σ. 110.

5. Ὁ κανὼν τῆς ἁγίας Ἀναλήψεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ποίημα Ἰωάννου μοναχοῦ σ. 137.

6. Τετράστιχα ἰαμβικὰ ἐν γνωμολογίαις ἠθικαῖς εὐσεβῆ καὶ

πρὸς πάντα ὀρθόδοξον ἀναγκαῖα ἐν λόγῳ παραινέσεως, ποίημα Γεωργίου ἐλαχίστου. Γνωμικὸν α' περὶ πίστεως. Ἀρχ. « Σέβας μὲν ὀρθόν » σ. 134. (Ὑπάρχουσι δὲ τοιαῦτα τὸ ὅλον 34).

7. Οἱ κανόνες τῆς Ὑπεραγίας Θεοτόκου Δεσποίνης ἡμῶν καὶ Ἀειπαρθένου Μαρίας. Τοῦ κυρίου Κοσμᾶ οὗ ἡ ἀκροστιχίς « Πανηγυριζέτωσαν οἱ θεόφρονες » Ἀρχ. « Πεποικιλμένη τῇ θείᾳ δόξῃ σου » σ. 145.

8. Ὁ κανὼν τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ. Ἀκροστιχίς « Σταυρῷ πεποιθὼς ὕμνον ἐξερεύγομαι » Ἀρχ. « Σταυρὸν χαράξας » σ. 160.

9. Κανὼν τῆς Χριστοῦ γεννήσεως σ. 169.

10. Κανὼν τῶν ἁγίων Θεοφανείων σ. 186.

11. Κανὼν τῆς Ὑπαπαντῆς σ. 204.

12. Κανὼν τῆς ἁγίας Πεντηκοστῆς σ. 212.

13. Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου τετράστιχα. Ἀρχ. « Γρηγορίου πόνος » φ. 223.

14. Γαβρίου ἕλληνος τετράστιχα περὶ ἀνθρώπου καὶ λιθίνου λέοντος. Ἀρχ. « Ἀνδρὸς ποσί » σ. 224.

15. Ἐκ τῶν Σόλωνος ἐλεγειῶν γνωμικά. Ἀρχ. «Μνημοσύνης καὶ Ζηνός » σ. 264.

16. Γρηγορίου τοῦ Θεολόγου εἰς τὴν ἑαυτοῦ ψυχήν. Ἀρχ. « Ἔργον ἔχει ψυχὴ καὶ μέγα » σ. 270.

17. Τοῦ αὐτοῦ στίχοι ἡρωϊκοί. Ἀρχ. « Ἦν ὅτε Χριστὸς » σ. 280.

18. Τοῦ αὐτοῦ στίχοι ἡμίαμβοι εἰς τὴν ἑαυτοῦ ψυχήν. Ἀρχ. « Τί σοι θέλεις γενέσθαι »

19. Τοῦ αὐτοῦ πρὸς Σέλευκον. Ἀρχ. « Χαίρειν κελεύων τὸν καλόν τε » σ. 299.

20. Γρηγορίου τοῦ Ναζιανζηνοῦ τραγῳδίας ὑπόθεσις Χριστὸς πάσχων. Ἀρχ. « Ἐπεὶ δ' ἀκούσας εὐσεβῶς » σ. 309.

21. « Βασιλείου τοῦ Ρωμαίων βασιλέως κεφάλαια παραινετικὰ 66 πρὸς τὸν ἑαυτοῦ υἱὸν Λέοντα ἔχοντα ἀκροστιχίδα. Βασίλειος ἐν Χριστῷ βασιλεὺς Ρωμαίων Λέοντι τῷ πεποθημένῳ υἱῷ καὶ

συμβασιλεῖ χαίρειν». Περὶ παιδεύσεως. Κεφ. αον. Ἀρχ. « Βιωφελές τι χρῆμα » σ 423.

22. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοφυλάκτου ἀρχιεπισκόπου Βουλγαρίας: Παιδεία βασιλικὴ πρὸς τὸν πορφυρογέννητον Κωνσταντῖνον, πρῶτον μέρος πανηγυρικόν. Ἀξία καὶ τιμὴ τοῦ συντάγματος. Κεφ. αον. Ἀρχ. «Δῶρόν τοι καὶ ἐγώ» σ. 469 — 470.

23. Τοῦ αὐτοῦ Θεοφυλάκτου πρὸς τὸν αὐτὸν πορφυρογέννητον βασιλέα Κωνσταντῖνον. Παιδεία βασιλικὴ μέρος ἕτερον παραινετικόν. Κεφ. αον. Ἀρχ. « Πανάθλιος ὁ βασιλεύς » σ. 482.

24. Κανὼν ἰαμβικὸς τῶν Βαΐων σ. 500.

25. Κανόνες τῆς Μεγάλης ἑβδομάδος. σ. 504.

26. Κανὼν τοῦ ἁγίου καὶ Μεγάλου Σαββάτου σ. 514. Κανὼν τῆς λαμπροφόρου Ἀναστάσεως σ. 519.

27. Κανὼν τῆς ἁγίας Μεταμορφώσεως σ. 522.

28. Ἔκθεσις κεφαλαίων παραινετικῶν σχεδιασθεῖσα παρὰ Ἀγαπητοῦ διακόνου τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας ὧν ἡ ἀκροστιχὶς ὧδέ πως ἔχει. Ἀρχ. « Τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ βασιλεῖ ἡμῶν Ἰουστινιανῷ Ἀγαπητὸς ὁ ἐλάχιστος διάκονος. Τιμῆς ἁπάσης ὑπέρτερον ἔχων ἀξίωμα βασιλεῖ » σ. 535.

29. Ὁμηρόκεντρα ἢ καὶ κέντρονες. Ἀρχ. « Κέκλυτε μυρία φῦλα » σ. 571.

30. Ἡσιόδου τοῦ Ἀσκραίου ἔργα τὸ πρῶτον βιβλίον. Ἀρχ. « Μοῦσαι Πιερίηθεν » σ. 766.

31. Ἡσιόδου ἡμέραι σ. 830.

32. Φωκυλίδου ποίημα νουθετικόν. Ἀρχ. « Ταῦτα δίκης » σ. 836.

33. Πυθαγόρου χρυσᾶ ἔπη 854.

34. Μεγάλου Βασιλείου παραίνεσις πρὸς τοὺς νέους σ. 850.

35. Τοῦ αὐτοῦ ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός. Ἀρχ. « Πολλοὶ τῆς διδασκαλίας οἱ τρόποι » σ. 900.

36. Περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς καὶ περὶ τοῦ γενομένου ἐμπυρισμοῦ ἔξωθεν τῆς Ἐκκλησίας. Ἀρχ. « Ἐγὼ μὲν ᾤμην » σ. 934.

37. Συνεσίου εἰς τὸν αὐτοκράτορα Ἀρκάδιον περὶ βασιλείας. Ἀρχ. « Ἆρα εἰ μή τις ἐκ πόλεως ἥκοι » σ. 968.

38. Περὶ τοῦ λειψάνου τοῦ Μεγάλου Κωνσταντίνου ὅπου τὸ ἤφερεν ὁ υἱὸς αὐτοῦ Κωνστάντιος ἀπὸ τὴν Νικομήδειαν. Ἀρχ. « Ὡσὰν ἐβασίλευσεν ὁ υἱὸς τοῦ Μ. Κωνσταντίνου » σ. 1033.

39. «Ταῦτά εἰσι τὰ γράμματα, ὁποῦ εὑρέθησαν γεγραμμένα ἐπάνω εἰς τὸν τάφον τοῦ Μ. Κωνσταντίνου». Καὶ ἕπονται ταῦτα μετὰ τῆς δῆθεν ἐξηγήσεως αὐτῶν ὑπὸ Σχολαρίου Πατριάρχου Κων|πόλεως σ. 1075—1039.

40. Εὐαγγέλιον κατὰ Ματθαῖον. Κεφ. Α΄. Ἀρχ.

« Βίβλος τὸ πρῶτον ἱστορεῖ Χριστοῦ γένος »
« Ἄχθους τ' Ἰωσὴφ ἀγγελόφθεγκτον λύσιν »
« Καὶ μητρὸς ἐκτεχθέντα παρθένου Λόγον »

Συνῳδὰ τῷ ἀνωτέρω τριστίχῳ συνοπτικῶς ἐκτίθεται τὸ περιεχόμενον ὅλων τῶν κεφ. τῶν Εὐαγγελιστῶν σ. 1041.

41. Εὐαγγέλιον κατὰ Μάρκον. Κεφ. αον΄. Ἀρχ.

« Πρῶτον Ζαχαρίδα φέρει κήρυγμα Θεόν τε »

σ. 1048.

42. Εὐαγγέλιον κατὰ Λουκᾶν. Κεφ. αον΄. Ἀρχ.

« Πρῶτον Ἰωάννου προάγγελον ἔχθετο φύτλην »

σ. 1052.

43. Εὐαγγέλιον κατὰ Ἰωάννην. Κεφ. αον΄. Ἀρχ.

« Πρῶτον διδάσκει περὶ Θεοῦ Θεὸν λόγον » σ. 1057.

44. Εἰς τὸν νέον ὁσιομάρτυρα Παχώμιον. Ἀρχ. « Ποῦ εἶσαι Βασίλειε ὁ μέγας καὶ τῷ ἔργῳ καὶ τῷ λόγῳ » σ. 1055.

56

Τεῦχος μουσικὸν (0, 215 X 0, 16) ἐκ φύλλων στιλπνοῦ χάρτου 281, ὅπερ διαλαμβάνει τὰ δοξαστικὰ τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν σὺν τοῖς κανόσιν αὐτῶν καὶ μερικῶν ἑορταζομένων ἁγίων. Ἐν τελει ὑπάρχει τὸ ἑξῆς ἑξάστιχον.

« Τῷ μουσικὴν ἔνθεον προθυμουμένῳ
Ὀρθῶς ἐκμαθεῖν καὶ μουσόληπτος φῦναι

συντόνως τήνδε μετιέτω τὴν βίβλον
ἣν γέγραφε χεὶρ πρεσβύτου ἱερέως
Ἀντώνιος ᾧ κλῆσις ἠδὲ μεγίστης
Μέγας οἰκονόμος τε τῆς Ἐκκλησίας.
αψω΄ Ἀπριλίου κθ΄ ἡμέρα ϛ΄.».

57

Τεῦχος μουσικὸν (0, 225 X 0, 155) ἐκ φύλλων χάρτου 75 γραφὲν κατὰ τὸ 1886 κατὰ μῆνα 10βριον. «Δοξαστάριον».

58

Ἀνθολόγιον μουσικὸν (0, 22 X 0, 15) περιέχον τὴν πρέπουσαν ἀκολουθίαν τοῦ ὅλου ἐνιαυτοῦ κατὰ τάξιν τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν καὶ τῶν ἑορταζομένων ἁγίων ἐκ φύλλων χάρτου 266.

59

Τεῦχος μουσικὸν (0, 22 X 0, 155) ἐκ φύλλων χάρτου 207 περιέχον ἀναμὶξ ἀκολουθίαν τοῦ ἑσπερινοῦ, ὄρθρου καὶ τῆς λειτουργίας.

60

« Ἀρχὴ σὺν Θεῷ ἁγίῳ Στιχηράριον καλόφωνον περιέχον πᾶσαν τὴν ἀκολουθίαν τῶν τροπαρίων τοῦ ὅλου ἐνιαυτοῦ κατὰ τάξιν συντεθεῖσαν εἰς νέον καλλωπισμὸν παρὰ κυρίου Χρυσάφου». Σύγκειται ἐκ φύλλων χάρτου 289. Ἔχει ὕψος 0, 22, πλάτος, 0, 16.

61

Τεῦχος μουσικὸν φιλοκάλως γεγραμμένον (0, 21 X 0, 164) τῆς ΙΗ΄ ἑκατ. ἐκ φύλλων χάρτου 79 καὶ διαλαμβάνον « Τὸν ἀκάθιστον ὕμνον τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, ποιηθέντα παρὰ κὺρ Ἰωάννου Λαμπαδαρίου τοῦ Κλαδᾶ» μιμουμένου

κατὰ τὸ δυνατὸν τὴν παλαιὰν σύνθεσιν ὡς αὐτὸς γράφει. Ἄρχεται δὲ εἰς ἦχον δ΄. Ἀρχ. «Ἄγγελος πρωτοστάτης».

62

Τεῦχος μουσικὸν (0, 195 X 0, 145) ἐκ φύλλων στιλπνοῦ χάρτου 526 γραφὲν κατὰ τὰς ἀρχὰς τῆς ΙΗ΄ ἑκατ. καὶ περιέχον τὴν ἀκολουθίαν ἑσπερινοῦ, ὄρθρου καὶ λειτουργίας. Ἀπὸ τοῦ φύλλου 1—11 ὑπάρχει ἐξήγησις τῶν σημαδίων παρὰ διαφόρων ποιητῶν. Ἐν δὲ τῷ φύλλῳ 502 ἡ εἰκὼν τῆς Θεοτόκου ἐζωγραφισμένη. Ἐν τέλει δὲ τοῦ τεύχους σημειώσίς τις δηλοῖ ὅτι « Ἡ παροῦσα παπαδικὴ ἠγοράσθη παρὰ τοῦ εὐγενεστάτου ἐν ἄρχουσι Κυρίου Στρατῆ υἱοῦ τοῦ ἐντιμοτάτου κυρίου Ταβουλαρίου, ἐκ χωρίου Ἡρακλείτζας, ἐκ τῆς ἐπαρχίας τοῦ ἁγίου Μυριοφύτου κυρίου κὺρ Νικοδήμου καὶ τὴν ἐσπούδαξα εἰς τὸν μουσικώτατον κύριον Θεόκλητον καὶ ἡμέτερον διδάσκαλον ἐπὶ ἔτους 1754 ἐν μηνὶ Ὀκτωβρίου 3 ».

63

Τεῦχος μουσικὸν (0, 217 X 0, 16) ἐκ φύλλων χάρτου 248 διαλαμβάνον τὴν ἀκολουθίαν ὅλων τῶν ἑορταζομένων ἁγίων καὶ ἀρχόμενον ἀπὸ τοῦ μηνὸς Σεπτεμβρίου.

64

Τεῦχος μουσικὸν (0, 21, X 0, 152) ἐκ φύλλων χάρτου 95 καὶ διαλαμβάνον διαφόρους καλοφωνικοὺς εἱρμούς.

65

Τεῦχος μουσικὸν (0, 22 X 0, 155) ἐκ σελίδων χάρτου 382 ἤτοι « Στιχηράριον περιέχον ἅπαντα τὰ ἰδιόμελα καὶ ἑωθινὰ καὶ δοξαστικὰ καί τινα μαθήματα πολυελέων ».

66

Τεῦχος μουσικὸν (0, 28 X 0, 195) ἄνευ ἀρχῆς καὶ τέλους τῆς ΙΔ΄ ἢ ΙΕ΄ ἑκατ. ἐκ φύλλων χάρτου 276 καὶ περιέχον τὴν ἀκολουθίαν τῶν ἑορταζομένων ἁγίων, τοῦ τριῳδίου, τοῦ πεντηκο-

σταρίου καὶ τῆς ὀκτωήχου. Ἔνια τῶν φύλλων αὐτοῦ ἀντικαθιστῶσιν ἕτερα φύλλα εἰλημμένα ἐξ ἀρχαιοτέρου τεύχους.

67

Τεῦχος μουσικὸν φιλοκάλως δεδεμένον (0, 235 X 0, 165) τῆς ΙΗ΄ ἑκατ. ἐκ φύλλων στιλπνοῦ χάρτου 365 καὶ περιέχον τὴν ἀκολουθίαν τοῦ ἑσπερινοῦ, τοῦ ὄρθρου καὶ τῆς λειτουργίας παρὰ Πέτρου Λαμπαδαρίου.

68

Μουσικὸν εἱρμολόγιον (0, 224 X 0, 155) ἐκ σελίδων χάρτου 214 γραφὲν κατὰ τὸ 1835. Τὰ ἐν αὐτῷ μαθήματά εἰσι Πέτρου τοῦ Πελοποννησίου, Πέτρου τοῦ Βυζαντίου, Γρηγορίου τοῦ πρωτοψάλτου καὶ Χουρμουζίου Χαρτοφύλακος.

69

Τεῦχος μουσικὸν (0, 225 X 0, 165) ἐκ σελίδων χάρτου 536 περιέχον τὴν ἀκολουθίαν τοῦ ὄρθρου καὶ τῆς λειτουργίας. Ἀφιέρωμα εἰς τὸν Π. Τάφον τοῦ παπᾶ κὺρ Μακαρίου τοῦ Κρητὸς κατὰ τὸ 1828. Ἐν τέλει ὑπάρχει πίναξ τῶν περιεχομένων.

70

Τεῦχος μουσικὸν τῆς ΙΖ΄ ἑκατ. (0, 21 X 0, 155) ἐκ φύλλων στιλπνοῦ χάρτου 439 γραφὲν παρὰ τοῦ Πισιαδινοῦ ἱερέως Ἰωάννου καὶ διαλαμβάνον τὰ ἑξῆς. (¹)

1. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν σημαδίων τῆς μουσικῆς τέχνης τῶν τε ἀνιόντων καὶ κατιόντων τε σωμάτων τε καὶ πνευμάτων τε μετὰ πάσης χειρονομίας τε καὶ ἀκολουθίας συντεθειμένη παρὰ τῶν κατὰ καιροὺς ἀναδειχθέντων ποιητῶν παλαιῶν τε καὶ νέων. Ἀρχ.

(¹) Σημ. Μεταξὺ πολλῶν ἄλλων μουσικῶν γνωστῶν ἡμῖν μνείαν ποιοῦνται ἐν αὐτῷ καὶ οἱ ἑξῆς. Παῦλος οἰκονόμος Ναυπλίου, Δημήτριος ὁ ἐξ Ἀθηνῶν, Κλήμης ἱερομόναχος, Ἀρσένιος ἐπίσκοπος Κυδωνιῶν, Παναγιωτάκης πρωτοψάλτης, Σταυριανὸς Βλάχος, Ἰωάννης Χρυσοβέργης, Κάλλιστος ἱερομόναχος, Φιλάρετος, Ἀναστάσιος ἱερομόναχος, Ἰωάσαφ Μυτιληναῖος, Δημήτριος Θεσσαλονικαῖος, Ἰωάννης Μυτιληναῖος καὶ Παναγιώτης Σπάθας.

« Ἀρχὴ μέση τέλος καὶ σύστημα » φ. 1. Ἐν τοῖς φύλλοις 4 καὶ 5 ὑπάρχουσι διάφοροι κύκλοι δηλωτικοὶ τῶν διαφόρων συστημάτων τῶν ἤχων.

2. Τροπάριον ἠσαγωγιτικὸν ἔχον ἀ ν ά μ η ξ τὴν παραλλαγὴν μετὰ τῶν μητροφωνιῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ. Ἀρχ. « Χορὸς τετραδεκαπύρσευτος φ. 5β.

3. Ἀρχὴ τῶν κατ' ἦχων ἠχημάτων καὶ νεανισμάτων. Ἀρχ. « Ἐπέστη ἡ εἴσοδος » φ. 5β.

4. Εἰς μέθοδον τῶν ὀκτὼ ἤχων Ἁγιορίτικον ἦχος α'. Ἀρχ. « Ἀββᾶς ἀββᾶν ὑπήντησε καὶ οὗτος τὸν ἐχαιρέτισεν, πόθεν ἔρχης ὦ ἀββᾶ : ἀπὸ Ἀδριανούπολιν. Τί ἔμαθες ἐκ τοὺς ἐμοὺς γονεῖς ; ἀπέθανεν ἡ μάνα σου, ψυχομαχεῖ ὁ κύρι σου καὶ ὁ Θεὸς μακαρίσει αὐτούς ». Τοῦτο εὕρηται τονισμένον καὶ χρησιμεῦον ὡς γύμνασμα φ. 7β.

Νουθεσία πρὸς τοὺς μαθητάς. Ἀρχ. Ὁ θέλων μουσικὴν μαθεῖν καὶ θέλων ἐπαινεῖσθαι, θέλει πολλὰς ὑπομονάς, θέλει πολλὰς ἡμέρας, τιμὴ πρὸς τὸν διδάσκαλον, δουκάτα εἰς τὰς χεῖρας, τότε νὰ μάθη ὁ μαθητὴς καὶ τέλειος νὰ γείνῃ ». Καὶ τοῦτο παράκειται ὡς γύμνασμα καὶ τονισμένον εὕρηται.

Εἶτα ἕπεται ἡ ἀκολουθία ἑσπερινοῦ, ὄρθρου καὶ λειτουργίας ἅπασα τονισμένη κατὰ τὰ τότε ἀρχαῖα σημαδόφωνα.

71

Τεῦχος μουσικὸν (0, 215 X 0, 165) ἤτοι « Στιχηράριον τῶν 12 μηνῶν παρὰ Χρυσάφου τοῦ νέου » ἐκ φύλλων χάρτου 429. « Ἐγράφη τὸ παρὸν μεληρυτέμελον καὶ ψυχοχαρμόσυνον βιβλίον παρὰ τοῦ Χριστοδούλου ἱερέως ἐν ἔτει α ψ μ ζ : μηνὶ Ὀκτωβρίῳ λ ά.

72

Στιχηράριον μουσικὸν τῶν 12 μηνῶν ὑπὸ Γερμανοῦ Νέων Πατρῶν ἐκ φύλλων χάρτου 279 ἔχον ὕψος 0, 214 καὶ πλάτος 0, 15.

73

Τεῦχος μουσικὸν (0, 215 X 0, 16) τῆς ΙΓ' ἑκατ. ἐκ φύλλων χάρτου 270 ἀρχόμενον οὕτως « Ἀρχὴ σὺν Θεῷ ἁγίῳ καὶ τῶν κατ' ἦχον θεοτοκίων ποιηθέντων παρὰ διαφόρων ποιητῶν τε καὶ νέων. Τὸ δὲ παρὸν κὺρ Ξένου τοῦ Κορώνη καὶ πρωτοψάλτου τῆς Ἁγίας Σοφίας ».

Ἐν μὲν τῇ ὤᾳ τοῦ πρώτου φύλλου ὑπάρχει ἐξ Ἱσπανικοῦ κηροῦ ἡ σφραγὶς τοῦ πατριάρχου Πολυκάρπου, ἐν τέλει δὲ ἡ ἑξῆς σημείωσις « ἀφηέρωμα απωχοςἄνηνούπωλῆν ἧς τῶν Ζωωδώχων τάφων τοῦ κηρήου: Χρηστόδουλος ἁμαρτωλὸς δοῦλος προσκυνῶ ».

Ἐν τοῖς ἐθνικοῖς ᾄσμασιν ὑπάρχουσι καὶ αἱ ἑξῆς ὀνομασίαι. «Τοῦ αὐτοῦ (Ἀρσενίου) μουσχάζη παρὰ Ἰσμαηλιτῶν Ρωμαικὰ Σύρων » καὶ « ἐκ τῆς σύριγγος ὑπὸ δὲ Ἰσμαηλιτῶν ὀνομάζεται μισχάλη » ἦχος πλ. δ'.

74

«Εἱρμολόγιον μουσικὸν (0, 224 X 0, 165) τῶν καταβασιῶν ὅλου τοῦ ἐνιαυτοῦ παρὰ Πέτρου τοῦ Πελοποννησίου τὸ πρῶτον, εἶτα δὲ ἐξηγηθὲν ὑπὸ Γρηγορίου Χουρμουζίου καὶ Χρυσάνθου τῶν πρωτοψαλτῶν» ἐκ φύλλων 187.

75

Τεῦχος μουσικὸν (0, 229 X 0, 155) ἐκ φύλλων χάρτου 142 καὶ περιέχον πασαπνοάρια καὶ δοξολογίας παρὰ Γρηγορίου πρωτοψάλτου.

76

Εἱρμολόγιον (μουσικὸν) τῶν καταβασιῶν Πέτρου τοῦ Πελοποννησίου μετὰ τοῦ συντόμου εἱρμολογίου Πέτρου πρωτοψάλτου τοῦ Βυζαντίου . . . διορθωθέντα παρὰ τοῦ διδασκάλου Χουρμου-

ζίου χαρτοφύλακος. . νῦν πρῶτον ἐκδοθέντα εἰς τύπον ἀναλώμασιν ἰδίοις καὶ Ἰσὰκ δὲ Κάστρο. Κωνσταντινούπολις. Ἐν τῇ Βρετανικῇ τυπογραφίᾳ Κάστρου εἰς Γαλατᾶν. 1825».

Στίχοι ἡρωϊκοὶ ὑπὲρ τῆς βίβλου. Παναγιώτου παπᾶ Ἰωάννου Χαρισήτου ἐκ Γανοχώρων.

« Τευχεε μελίφρονε δισσὼ δισσοῖν μουσοπόλοισιν »
« Πέτρου Ἀργείου ἡ δὲ Πέτρου Βυζαντίοιο »
« Εἱρμολόγιο λύρης θελξίνοα ᾄσματα πάντα »
« Τύποις Χαρτοφύλαξ Χουρμούζιος ἀτλαόμηγις »
« Θυμὸν ἰ α ί ν ω ν μουσοτραφῆος ἥλικος ἥβης »
« Πολλὰ μογήσας ἔκθετο, δέλτον εὔρυθμον ὀππάσας ».

Ἔχει δὲ μῆκος 0, 215 καὶ πλάτος 0, 15 καὶ σελίδας ἐκ χάρτου 300.

77

